κοψας, κάλλος δυσμενοῦς ἀφείλου σώματος, ὅλην κεφαλὴν βαρβάρων ἀπήραξας. ὑπὲρ τὰς πολυχρύσους Μυκήνας ἡ πόλις πολύχρυσος, ὑπὲρ τὸ Λινδίων ὄλβιον ἄστυ πολύολβος. εἰ ποιητὴς ἐκείνην εἶδε τὴν πόλιν, ὁπόσον εἶχεν ἀργύρου καὶ ὅπως ὑπερχειλὴς ἦν χρυσοῦ καὶ τῆς ὡς ἄλλως τύχης εὐδαίμονος, ἐκεῖσε ἂν οἶμαι τὸ χρυσοῦν νέφος μετήνεγκε καὶ ὡς ἀπὸ ʽξανθᾶν νεφελᾶνʼ ὁ χρυσὸς ἐψεκάζετο. τὰ τῶν μαχητῶν, ὅλον στρατόπεδον, οἱ τῆς ἄλλης ἡλικίας — θᾶττον ἂν καὶ κάμῃ τις ἀριθμούμενος.

Ἀλλά σου τὴν δεξιὰν ἡ μὲν πόλις εἶδεν ἄμαχον οἱ δʼ ὑπὸ σὲ μεγαλόδωρον· καὶ ἀπεκλήρωσας ὡς πάλαι τὴν Ἔδεσσαν Ῥωμαίοις ὁ Λεύκιος, μετὰ δὲ σὲ τὸν Ἀλέξανδρον ἐπεκρότησε καὶ Πῶρος ὁ πρὸ μικροῦ σοι σατραπεύσας μετὰ τὴν τοῦ σοῦ κράτους ἐπίγνωσιν, καὶ τῆς εὐνοίας ὅλα ἔθνη ἀντικεκόμισται, καὶ κληροῦχος πολλῶν γίνεται πόλεων.

Ἀλλὰ ʽἵππων μʼ ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλειʼ· ὑπὲρ τοὺς 28
Ἀχιλλέως καλλίτριχες ὑπὲρ τοὺς Αἰνείου τοῦ ἐκ Διὸς ξανθοκάρηνοι. φεῦ τῆς κόμης, ὡς περιήνθισται· φεῦ τῶν ποδῶν, ὡς ἐπτίλωνται. Εὐφράτης αὐτοῖς τὰς κόμας ἀπέλουσεν· ἐκεῖθεν οὗτοι χαιτήεντες ἐκεῖθεν οὗτοι ʽχιόνος λευκότεροιʼ.

Ἀλλʼ ὡς πολὺ καλλίους τούτων οἱ ἵπποι σου, ὦ βασιλεῦ, διʼ ὧν καὶ τούτους Ῥωμαῖοι λῄζονται· τούτους σὺ ʽτοὺς ἵππους ἐπεβίβασας ταράσσοντας ὕδατα, καὶ τῶν Εὐφράτου πηγῶν ἔπιον, καί σοι τὰ τῶν Ἀσσυρίων
423| ἐκπέποται. | πολλοῦ γε τοῦ χρόνου, Χριστὲ βασιλεῦ, οὐκ οἶδεν Εὐφράτης Αὐσόνιον ἄνακτα, οὐ Ῥωμαϊκὴν ἵππον ἐδέξατο, ἀλλʼ ἐπωρχοῦντο καὶ κατωρχοῦντο γλυκίου ποταμοῦ γλυκέων ναμάτων ἄνδρες ἁλμυροὶ τὴν ἀσέβειαν.

Ὡς εὐδαίμων ἡ ἵππος ἐκείνη, εὐδαίμονες καὶ οἱ τὴν ἵππον ταύτην ἱππασάμενοι καὶ τῆς τοσαύτης βαρβάρου καθιππασάμενοι. μακάριος καὶ σὺ ὁ νικήσας τὰ ἀνέλπιστα καὶ στρατηγήσας τὰ ἀπροσδόκητα. ὅση μὲν ἡ ἵππος ὅσα δὲ τὰ ποίμνια ὅσα δὲ τὰ βουκόλια. ὑπὲρ ʽτὰς Γηρυόνου βοῦςʼ ὑπὲρ τὰ τῶν Κυκλώπων αἰπόλια. ἄνδρες δʼ αἰχμηταὶ καὶ γυναῖκες βαθύζωνοι καὶ παῖδες ἀττάλλοντες, ὁπόσους μηδʼ ἄν τις ἐκ μυρίων ἐπεσώρευσε πόλεων.

Ἐδέξατό σου τὴν ἀπὸ τῶν ὅπλων σελάγησιν καὶ μεγίστη πόλις Ἀσσύριος 29